www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ
# ΖΑΦΕΙΡΙΟΥ

(ἑορταζομένου τῇ 11ῃ Ἰουνίου)



Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2011 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΤΗι ΙΑ' ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΝΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΖΑΦΕΙΡΙΟΥ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος. α'.Τῶν οὐρανίων ταγμάτων.

Τῆς ἐν Χριστῷ εὐσεβείας, μάρτυς Ζαφείριε,
ἀκλόνητος ἐδείχθης, καὶ στεῤῥὸς θεολόγος,
αἰσχύνας θεοσόφως τοὺς ἀσεβεῖς, τοὺς μεγάλως βιάζοντας,
σὲ ἐξομόσαι καὶ Ἄγαρ σκοτοειδοῦς,
λατρευτὴν πιστὸν γενέσθαι σε.

Ὀρθοδοξίας τὸ γάλα, πιὼν μακάριε,
καὶ ἐν τῷ Ὄρει Ἄθω, διδαχθεὶς τὰ πρακτέα,
οὐδόλως ἐσαλεύθης ἐξ ἀπειλῶν, καὶ πολλῶν ὑποσχέσεων,
ἐκ τῶν θελόντων ἑλκύσαί σε δυσσεβῶς,
πρὸς Μωάμεθ τὴν ἀπώλειαν.

Οὔτε νεότητος κάλλη, οὐδὲ προσπάθεια,
πρὸς ἡδονὰς τοῦ βίου,
νεομάρτυς Κυρίου, ἐξίσχυσαν πλανῆσαι καὶ εἰς βυθόν,
ἀσεβείας κατάξαι σε,
ἀλλ’ ὡς ἀφροὶ διελύθησαν ἀσεβῶν,
αἱ παγίδες καὶ τὰ ἔνεδρα.

Τῆς παρανοίας Μωάμεθ, πλάνην ἐξήλεγξας,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐνώπιον τυράννων,
τοῦ Σταυροῦ τῇ δυνάμει,
Ζαφείριε τρισμάκαρ, καὶ τοῦ Χριστοῦ,
εὐθαρσῶς τὴν θεότητα, ὁμολογήσας ἐτμήθης τὴν κεφαλήν,
εἰληφὼς στέφος τὸ ἄφθαρτον.

Ἡμισελήνου τὸ σκότος, Μάρτυς διέφυγες,
υἱὸς φωτὸς ὑπάρχων,
ἐξ αὐτῶν τῶν σπαργάνων,
Ζαφείριε θεόφρον, μόνος φανείς, τοῦ Κυρίου ὑπέρμαχος,
ἐξ ὁμηλίκων τὴν πίστιν δυναστικῶς,
ἀρνηθέντων φεῦ! σωτήριον.

Τῶν ἀθλητῶν τοῦ Δεσπότου, χοροὺς κατηύφρανας,
Ζαφείριε τελέσας,
ἀνδρικῶς τὸν ἀγῶνα, εἰς ὃν ἐνέβαλέ σε,
ὁ τῶν ψυχῶν, προκαλῶν τὴν ἀπώλειαν,
μεγαλοφώνως κηρύξας τοῦ Ἰησοῦ,
πρὸ τυράννων τὴν θεότητα.

Δόξα. Ἦχος πλ.β'.

Ὀρθοδοξίας τοῖς δόγμασιν ἐκ βρέφους συντραφείς, καὶ τὴν εὐσέβειαν ἐν τῷ Ἄθωνι εὐλαβῶς ἐνδυναμώσας, οὐκ ἐδειλίασας μεγαλοφώνως κηρύξαι Χριστοῦ τὴν θεότητα, πρὸ τῶν ἀθέων ἀγαρηνῶν. Ὅθεν τοῦ ψευδοπροφήτου τὴν πλάνην ἀνδρείως ἀπελέγξας, καὶ τῶν ὑπεσχημένων σοι ἀπολαύσεων γενναιοφρόνως καταφρονήσας, τὸ ἄφθαρτον στέφος ἀπείληφας τῶν μαρτύρων, Ζαφείριε θεομακάριστε. Ὅθεν τῷ Κυρίῳ διὰ παντὸς παριστάμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν πίστει τελούντων, τὴν ψυχοχαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον ὁμόηχον (ἢ τῆς προηγηθείσης ἑορτῆς).



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ μαρτυρικὰ ἀναγνώσματα.

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ Παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα
Ἦχος α'.

Υἱὸς φωτὸς καὶ ἡμέρας ὑπάρχων, Ζαφείριε χριστόψυχε, τὸ σκότος διέλυσας τῆς Ἄγαρ, καὶ μὴ δειλιάσας τῶν τυράννων τὰς

www.tezaurliturgic.ro


βασάνους, οὐδὲ ταῖς αὐτῶν ψυχοφθόροις κολακείαις ὑπαχθείς, γενναίως τοῦ Κυρίου τὴν θεότητα ὡμολόγησας, καὶ ὡς ἀμνὸς ἐθελούσιος τεθανάτωσαι. Διὸ σὺν τῷ χορῷ τῶν ἐνδόξων Νεομαρτύρων ἐπαξίως συνταχθείς, πρέσβευε δεόμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Τῇ γονικῇ εὐσεβείᾳ ἐῤῥιζωμένος, ταύτην κατεπότισας φιλοθέως, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος μακάριε Ζαφείριε. Ὅθεν ἐν καιρῷ τῷ δέοντι πρὸ τῶν ἀθέων τυράννων, ὡμολόγησας μεγαλοφώνως, τοῦ Κυρίου Ἰησοῦ τὴν θεότητα, καὶ μυκτηρίσας τὴν πλάνην τοῦ ψευδοπροφήτου, θῦμα γέγονας τῆς Ὀρθοδοξίας. Διὸ δώρησαι καὶ ἡμῖν, εὐλαβῶς πολιτεύεσθαι καὶ μὴ ὑπείκειν τοῦ πειρασμοῦ ταῖς ψυχοφθόροις ὑποσχέσεσι.

Ἦχος γ'.

Τοῦ σταυροῦ ἀγαπήσας τὴν μαρτυρικὴν ὁδόν, συνόμιλος γέγονας Ζαφείριε, τῶν προτέρων τοῦ Χριστοῦ Μαρτύρων. Τῆς ἀληθείας γὰρ τὸ φῶς ἔχων ἐν τῇ καρδίᾳ σου ἄσβεστον, ἀνδρικῶς ἠρνήσω τῶν ἀγαρηνῶν τὰς θωπείας. Διὸ ὡς πρόβατον ἄκακον παραδοθεὶς ταῖς βασάνοις, ἄφθαρτον εἴληφας τὸν στέφανον τῆς ὁμολογίας, καὶ πρεσβεύεις διηνεκῶς τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Ἦχος δ'.

Νεανικὴν ἔχων τὴν ἡλικίαν, γεροντικὴν ἐπλούτεις τὴν σύνεσιν, προκρίνας θεοσόφως τῶν προσκαίρων τὰ μένοντα αἰωνίως. Διὸ πᾶσαν ἡδυπάθειαν τῆς σκοτομόρφου Ἄγαρ ἀρνησάμενος, τοῦ μαρτυρίου ἐβάδισας τὸν δρόμον γενναιοφρόνως, Ζαφείριε ἀξιοθαύμαστε, Χριστὸν ὁμολογήσας τέλειον Θεὸν καὶ ἄνθρωπον, Ὃν καθικέτευε νεομάρτυς, ὑπὲρ τῶν χαρμοσύνως καταγεραιρόντων σε.

Δόξα. Ἦχος πλ.α'.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τοῦ νοητοῦ ἡλίου τῷ φωτὶ περιλαμπόμενος, τῆς ἐλλιποφώτου ἡμισελήνου τὴν σκοτώδη πλάνην ἀπεστράφης, καταμυκτηρίσας θεοσόφως τῶν ἀγαρηνῶν τὴν ἀσέβειαν. Διὸ Χριστῷ ὡλοκαυτώθης Ζαφείριε, ὡς σφάγιον θεόδεκτον καὶ ἄμωμον, καὶ ἀπολαύεις ἀλήκτως, τοῦ φωτομόρφου Προσώπου τοῦ Δεσπότου, Ὃν καθικέτευε νεομάρτυς γενναιόψυχε, καὶ ἡμῖν δωρήσασθαι, τοῦ φωτὸς Αὐτοῦ μικράν τινα ἀπόμοιραν.

Καὶ νῦν.Θεοτοκίον (ἢ τῆς ἑορτῆς).

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις τῆς Βασιλείας Χριστοῦ, ἔνδοξε σάπφειρε Ζαφείριε πάμφωτε, ὁ Ἄγαρ σκοτώδη πλάνην, ὁμολογίᾳ στεῤῥᾷ, διαλύσας ὥσπερ τι νεφύδριον· τὴν πίστιν ὀρθόδοξον, ἔχων ὅπλον ἀήττητον, ψευδοπροφήτου, τὰ μυθώδη ληρήματα, γενναιότατα, πρὸ τυράννων ἀνέτρεψας. Ὅθεν τῷ μαρτυρίῳ σου, μεγάλως ἐδόξασας, τὸν ἐν σταυρῷ ὑψωθέντα, φιλανθρωπότατον Κύριον, Ὃν θείαις πρεσβείαις, καθικέτευε δοθῆναι ἡμῖν τὸ ἔλεος.

Στίχ. *Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις ὦ νεομάρτυς Χριστοῦ, ὁ νέοις χρόνοις ἰσοστάσιος μάρτυσιν, ἀρχαίοις φανεὶς καὶ τούτων, ἐκμιμηθεὶς τὴν ὁρμήν, κατὰ διαβόλου τοῦ ἀλάστορος, Ζαφείριε ἔνδοξε, ἀθλητὰ γενναιότατε, ὁ τοῦ Κυρίου, ἀνδρικῶς τὴν θεότητα, καὶ τὴν σάρκωσιν, τὴν Αὐτοῦ θείοις λόγοις σου, πρὸ τῶν ὑποβαλόντων σε, βασάνοις ὠμότατα, ὁμολογήσας

καὶ πλάνην, καταφρονήσας τὴν ἄθεον, πλουτῶν θείαν χάριν, Παρακλήτου ἐν ψυχῇ σου, κατασκηνώσαντος.

Στίχ. *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

Χαίροις ὁ δι' ἀγάπην Χριστοῦ, ὑπερφρονήσας θαυμαστῶς τῆς νεότητος, καὶ πάντα τερπνὰ τοῦ βίου, ὥσπερ μὴ ὄντα λιπών, καὶ ζωῆς μελλούσης θεῖα θέλγητρα, ὁρῶν ἐν καρδίᾳ σου, καρτερῶς πρὸς μαρτύριον, πίστει χωρήσας, νεομάρτυς Ζαφείριε, καὶ κατῄσχυνας, τὸν τῆς πλάνης γεννήτορα. Ὅθεν τὴν σὴν πανήγυριν, τελοῦντες εὐφρόσυνον, αἶνον χαρᾶς τῷ Κυρίῳ, πλήθη πιστῶν ἀναμέλπομεν, αἰτοῦντες δοθῆναι, καὶ ἡμῖν ταῖς σαῖς πρεσβείαις, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ.δ'.

Τῷ τοῦ παμφώτου ἡλίου Χριστοῦ, τὰς ἐλλάμψεις νηπιόθεν δεξάμενος Ζαφείριε, τὴν ἐρεβώδη πλάνην τῶν ἀγαρηνῶν ἐμυκτήρισας, ὁμολογίας τε καὶ μαρτυρίου τὸ στέφος, ἐκ πολλῶν ὁμηλίκων σὺ μόνος ἀξιωθείς. Ὅθεν τῆς ἀσαλεύτου Βασιλείας τοῦ Θεοῦ πολίτης γενόμενος, καὶ τὸ ὑπέρκαλλον κάλλος τοῦ Δεσπότου διηνεκῶς καθορῶν, πρέσβευε καὶ ὑπὲρ ἡμῶν δεόμεθα, νεομάρτυς ὡς φιλάδελφος.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον (ἢ τῆς ἑορτῆς).

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ἐν τῇ πίστεως πέτρᾳ ἑδρασθεὶς γενναιότατα,
πλάνην ἐμυκτήρισας Ἄγαρ,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

νεομάρτυς Ζαφείριε·
νεότητος τὸ ἄνθος παριδών,
τὸ αἷμά σου προσήνεγκας Θεῷ·
ὅθεν στέφει ἐκοσμήθης ἐν οὐρανοῖς,
ὡς ἀθλητὴς χριστόψυχος.
Δόξα τῷ σὲ καλέσαντι Θεῷ,
δόξα τῷ σὲ δυναμώσαντι,
δόξα τῷ δεδωκότι σε ἡμῖν,
μεσίτην ἀκαταίσχυντον

Θεοτοκίον (ἢ τῆς ἑορτῆς).

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ Χαῖρε,
σὺν τῇ φωνῇ ἐσαρκοῦτο, ὁ τῶν ὅλων Δεσπότης,
ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ·
ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,
βαστάσασα τὸν Κτίστην σου.
Δόξα τῷ ἐνοικήσαντι ἐν σοί·
δόξα τῷ προελθόντι ἐκ σοῦ·
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς,
διὰ τοῦ τόκου σου.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Τὴν πάγχρυσον σειράν, τῶν ἁγίων Μαρτύρων, ἐστόλισας φαιδρῶς, τῇ σεπτῇ σου ἀθλήσει, Ζαφείριε χριστόψυχε, διελέγξας σοφώτατα, πλάνην ἄθεον, ψευδοπροφήτου Μωάμεθ, καὶ θεότητα, ἀνακηρύξας Κυρίου, τοῦ πλάσαντος τὰ σύμπαντα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον (ἢ τῆς ἑορτῆς).

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος δ'.Ταχὺ προκατάλαβε.

Τὴν πίστιν ἐκράτησας, Ὀρθοδοξίας στεῤῥῶς, γενναίως ἀπέῤῥιψας, τῶν ἀσεβῶν τὰς τιμάς, Ζαφείρε ἔνδοξε· τρέχων δὲ πρὸς τὸ στέφος, τοῦ σεπτοῦ μαρτυρίου, εἴληφας τοῦτο τέλος, ἐκτμηθείς σου τὴν κάραν, πρεσβεύων τῷ Δεσπότῃ Χριστῷ, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον (ἢ τῆς ἑορτῆς).

Ἁγνὴ παναμώμητε, καὶ ἀπειρόγαμε, ἡ μόνη τὸν ἄχρονον, Υἱὸν καὶ Λόγον Θεοῦ, ἐν χρόνῳ κυήσασα, τοῦτον σὺν τοῖς Ἁγίοις, καὶ σεπτοῖς Πατριάρχαις, Μάρτυσι καὶ Ὁσίοις, καὶ Προφήταις δυσώπει, δωρήσασθαι ἡμῖν ἱλασμόν, καὶ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τοῦ Δεσπότου βαδίσας ὁδὸν σταυροῦ, ὥσπερ ἔλαφος ἔδραμες πρὸς πηγάς, παμμάκαρ Ζαφείριε, παριδὼν τῆς νεότητος, καὶ αἰσθήσεων κάλλος, τῷ χρόνῳ φθειρόμενον, ἵνα τύχῃς μαρτύρων, τὸ κλέος τὸ ἄφθιτον. Ὅθεν διελέγξας, τὴν ἀσέβειαν Ἄγαρ, Τριάδος ἐκήρυξας, ἀνδρικῶς τὴν θεότητα, διὸ θάνατον εἴληφας, καὶ νῦν συμβασιλεύων Χριστῷ, τῶν πταισμάτων αἴτησαι τὴν ἄφεσιν, τῶν ἀνυμνούντων ἐκ πόθου, τὴν θείαν σου ἄθλησιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον (ἢ τῆς ἑορτῆς).

Ἐλεήμονα Λόγον καὶ συμπαθῆ, ὡς κυήσασα Δέσποινα τοῦ παντός, ἐλέησον ἅπαντας, τοὺς εἰς σὲ καταφεύγοντας, πειρασμῶν καὶ νόσων καὶ πάσης κακώσεως, καὶ αἰωνιζούσης, φλογὸς ἐλευθέρωσον· ὅπως εὐχαρίστως, τῶν πολλῶν οἰκτιρμῶν σου, τὸν πλοῦτον δοξάζωμεν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ τὸ ἄμετρον ἔλεος, καὶ βοῶμέν σοι πάντοτε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἀξίως, τὸν τόκον σου ἄχραντε.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον· Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχος· *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς αὐτοῦ ἐξανθήσει.*

**Εὐαγγέλιον,** μαρτυρικόν(τὸ ἐν τῷ Ὄρθρῳ τοῦ ἁγ.Γεωργίου)

Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ Μάρτυρός σου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.

Στίχ. *Ἐλέησόν με ὁ Θεός....*

Τῆς εὐσεβείας τὸν πλοῦτον μὴ ἀρνησάμενος, τῆς δυσσεβείας τὸ σκότος διήλεγξας, Ζαφείριε μακάριε. Ὅθεν ἀγαρηνῶν τὰς ὑποσχέσεις βδελυξάμενος, καὶ πάντων καταφρονήσας τῶν ἡδέων τοῦ βίου, σταυρὸν τοῦ μαρτυρίου ἀνδρειοφρόνως προετίμησας. Διὸ σὺν τῷ χορῷ τῶν Νεομαρτύρων παριστάμενος, μνήσθητι τῶν τιμώντων, τὴν πανέορτον μνήμην σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

**Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:**

*"Ἄισω σε, Ζαφείριε, σάπφειρον τοῦ Κυρίου. Ἀ(θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀισμάτων τῇ σάλπιγγι, ἀνακηρύττομεν σήμερον, Ζαφείριε ἔνδοξε, σὴν θείαν ἄθλησιν, ἣν ἐτέλεσας, νεότητος ἐν ἄνθει, τῆς Ἄγαρ δυσσέβειαν, ἐλέγξας ἄριστα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σὺ μόνος διέμεινας, ἐξ ὁμηλίκων ἀκλόνητος, τὴν πίστιν Ζαφείριε, καὶ οὐκ ἐξώμοσας, ὅτε βάρβαροι, ἠπείλων σε βασάνοις, καὶ στέφος ἀπείληφας, τῆς μαρτυρίας σου.

Ὡραῖος τῷ σώματι, τὴν δὲ ψυχὴν ὡραιότερος, ἐφάνης Ζαφείριε, Ὀρθοδοξίαν στεῤῥῶς, καὶ τὴν σάρκωσιν, κηρύξας τοῦ Δεσπότου, Μωάμεθ μυθεύματα, δείξας ψυχώλεθρα.

Θεοτοκίον

Σοῦ Ὄρος Ζαφείριος, Μῆτερ τὸ Ἅγιον ᾤκησεν, ἐν ᾧ τὴν σωτήριον, πίστιν ἐπηύξησεν, καὶ ἐκήρυξεν, ταύτην πρὸ ἀσεβούντων, Υἱοῦ σου γενόμενος, μάρτυς θεόστεπτος.

Καταβασία. Τῆς ἑορτῆς ἢ Ἀνοίξω τὸ στόμα μου.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἐν βάθει καρδίας σου φυλάξας, τὴν πίστιν ὡς μέγαν θησαυρόν, οὐδόλως ἐδειλίασας, Ζαφείριε μαρτύρια, ἀλλὰ προθύμως ἔδραμες, ἀποτμηθεὶς θείαν κάραν σου.

Ζωῆς τῆς παρούσης ἀπολαύσεις, καὶ πᾶσαν τρυφὴν καὶ ἡδονήν, Ζαφείριε παρέβλεψας, καὶ μόνον ἐπεπόθησας, τὴν τοῦ Κυρίου ἕνωσιν, τυθεὶς ὡς πρόβατον ἄμωμον.

Ἀνδρείως μισήσας τῶν τυράννων, τρυφὰς καὶ ἀπόλαυσιν σαρκός, εὗρες τὴν ἐπουράνιον, καὶ ἄληκτον ἀπόλαυσιν, ἔνθα πάντες οἱ Ἅγιοι, κατασκηνοῦσι Ζαφείριε.

Θεοτοκίον

Φωτός με Δεσπότου κληρονόμον, Πανάμωμε δεῖξον καὶ υἱόν, ἡμέρας ταῖς πρεσβείαις σου, ὅτι ὅλος τετύφλωμαι, καὶ οὐχ ὁρῶ τὸν Κύριον, τὸν ποθητὸν καὶ ἐράσμιον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καταβασία. Τῆς ἑορτῆς ἢ Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα .Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Τῶν ἀρχαίων Μαρτύρων ζῆλον τὸν ἔνθεον, μιμηθεὶς εὗρες δόξαν τούτων ἰσότιμον, ὑπομείνας καρτερῶς ἅπασαν βάσανον, καὶ ἐλέγξας ἀνδρικῶς, πλάνην Ἄγαρ σκοτεινήν, διὸ τμηθείς σου τὴν κάραν, συμβασιλεύεις Κυρίῳ, δἰ Ὃν ἠγώνισαι Ζαφείριε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον (ἢ τῆς ἑορτῆς).

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον, χαῖρε ἔμψυχε βάτε καὶ ἀκατάφλεκτε, χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν, χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἔχων δυναμοῦσάν σε μυστικῶς, τὴν τοῦ Παρακλήτου ἐνίσχυσιν, ὡς θεολόγος, ἀνεκήρυξας Χριστόν, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, τέλειον κατ’ ἄμφω Ζαφείριε.

Ἴχνεσιν ἑπόμενος παλαιῶν, τῶν Χριστοῦ Μαρτύρων Ζαφείριε, οὐκ ἐξηρνήσω, τὴν ἀλήθειαν Αὐτοῦ, ἀλλὰ στεῤῥῶς ἐβάδισας, πρὸς ἀθλητικὰ ἀγωνίσματα.

Ῥήτωρ ἀνεδείχθης νικητικός, καὶ παρ’ ἡλικίαν θαυμάσιος, πλάνην τῆς Ἄγαρ, διελέγξας ἀνδρικῶς, Ζαφείριε καὶ εἴληφας, στέφος ἐκ Κυρίου ἀμάραντον.

Θεοτοκίον

Ἴασαί μου τραύματα τῆς ψυχῆς, ἅπερ Παναγία ὁ ἄθλιος, ἀπροσεξίᾳ, προεξένησα καὶ νῦν, πρὸς θάνατον αἰώνιον, ἕλκουσι καὶ κόλασιν ἄμετρον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καταβασία. Τῆς ἑορτῆς ἢ Τὴν ἀνεξιχνίαστον.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἐλεύθερον ἔχων σου, τὸ φρόνημα Ζαφείριε, οὐ ταῖς κολακείαις ὑπετάγης, δι' ὧν τὰ τέκνα, τῆς Ἄγαρ ᾤοντο, φέρειν εἰς τὸ φρόνημα αὐτῶν, ἀλλὰ κατησχύνθησαν, σὲ εὑρόντες στερέμνιον.

Σταυρὸν ἐπεπόθησας, Χριστοῦ ᾆραι Ζαφείριε, ὅθεν ὥσπερ ἔλαφος πρὸς ὕδωρ, ἔδραμες πάντα, ὑπεριδὼν τὰ φθαρτά, καὶ θεολογήσας ἀνδρικῶς, ἀσεβῶν ἐφίμωσας, τὰ ἀπύλωτα στόματα.

Ἀγάπη πυρούμενος, τοῦ Ἰησοῦ Ζαφείριε, ἔκραζες ὡς Παῦλος πρὸς Ῥωμαίους· οὐδὲν ἰσχύσει, τοῦ ἀποσπάσαι με, ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον αὔξησιν, προκαλέσει σωτήριον.

Θεοτοκίον

Παθῶν με ἐκύκλωσεν, ἡ ἄβυσσος Θεόνυμφε, καὶ καταβιβάσαι ἀπειλεῖ με, πρὸς ἀπωλείας, βάθος ἐξώτερον· ὅθεν δυσωπῶ σε ἐκ ψυχῆς, πρόφθασον καὶ σῶσόν με, μητρικαῖς ἱκεσίαις σου.

Καταβασία. Τῆς ἑορτῆς ἢ Ἐξέστη τὰ σύμπαντα.

Ὠιδὴ ϛ'. Τὴν θείαν ταύτην.

Φωτὸς υἱὸς ὢν Ζαφείριε, τὸ σκότος ἀσεβείας διέλυσας, τῷ μαρτυρίῳ σου, λαμπροφανῶς τὴν θεότητα, κηρύξας τῆς Τριάδος, τῆς στηριξάσης σε.

Ἐν μέσῳ λύκων ὡς πρόβατον, εὑρέθης νεομάρτυς Ζαφείριε, ἐκπιεζόντων σε, ἀπαρνηθῆναι τὸν Κύριον, ἀλλ' ἔστης ὥσπερ πύργος ἀκαταμάχητος.

Ἰδὼν ἐχθροῦ παγιδεύματα, διῆλθες ταῦτα μάρτυς Ζαφείριε, Χριστοῦ τῇ χάριτι, μηδὲν παθὼν ἀλλὰ ἔμεινας, τῇ πίστει τῇ πατρῴα, ἣν ὡμολόγησας.

Θεοτοκίον

Ῥητόρων πλάνης διέλυσε, φληνάφους ῥήσεις Κόρη Ζαφείριος, καὶ σὲ ἐκήρυξε, Λόγου Θεοῦ τὴν γεννήτριαν, καὶ πρέσβειραν τοῦ κόσμου, τὴν ἀκαταίσχυντον.

Καταβασία. Τῆς ἑορτῆς ἢ Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Στερωθεὶς ἐπὶ τῆς πίστεως πέτραν,
παραμονῇ σου ἐν τῷ Ὄρει τοῦ Ἄθω,
γενναίως ἐκαρτέρησας τυράννων ἀπειλάς,
καὶ Μωάμεθ ἤλεγξας τὴν σκοτώδη θρησκείαν,
ὅθεν ὥσπερ πρόβατον, καθαρὸν τοῦ Δεσπότου,
ἐθυσιάσθης καὶ στεφανωθείς,
ἐν Παραδείσῳ, εὐφραίνη Ζαφείριε.

**Ὁ Οἶκος**

Οὐ πολυχρόνιόν ἐστι τίμιον ἅπαν γῆρας,
ἀλλ' ἡλικία στολισμὸν ἔχουσα σωφροσύνην,
διὸ νεότητι σφυζούσῃ καὶ ἀκμάζων ἐν συνέσει,
ὡς τῇ δυνάμει τοῦ σταυροῦ κραταιωθείς
καὶ Πνεύματι ἁγίῳ φωτισθείς,
θεολογούσῃ γλώσσῃ Ἰησοῦν τὸν Θεάνθρωπον
πρὸ τῶν ἀσεβῶν τρανῶς ἀνεκήρυξας,
καὶ βδελυξάμενος αὐτῶν τὰς ὑποσχέσεις,
διήλεγξας ἀνδρικῶς τὴν τῆς Ἄγαρ ψυχώλεθρον πλάνην·
ὅθεν τὴν κάραν ἀποτμηθεὶς ὡς σφάγιον τίμιον Κυρίου,
φιλομαρτύρων νῦν τοὺς χορούς,
εὐφραίνεις Ζαφείριε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὸ Συναξάριον

**Τῇ ἑνδεκάτῃ τοῦ μηνὸς Ἰουνίου, τὴν μνήμην ἑορτάζομεν τοῦ ἐνδόξου Νεομάρτυρος Ζαφειρίου, ὅστις τὴν τῶν ἀγαρηνῶν πλάνην θεοσόφως ἐλέγξας καὶ τὸν Χριστὸν γενναίως πρὸ τῶν τυράννων Θεὸν ἀληθῆ καὶ τέλειον ἄνθρωπον εἶναι ἀνδρείως κηρύξας ἐμαρτύρησεν ἐν Θεσσαλονίκῃ, κατὰ τὸ ἔτος 1821.**

Στίχοι

*Χριστοῦ κηρύξας θεότητα γενναίως,*
*Μαρτύρων εὗρες, Ζαφείριε, τὴν δόξαν.*
*Πρώτῃ τε δεκάτῃ Ζαφείριος Χριστῷ παρέστη.*

*Ὑπόμνημα*

Οὗτος ὁ γενναῖος νεομάρτυς Ζαφείριος, ἔφηβος ἔτι ὢν καὶ ἐργαζόμενος ἐν Ἁγίῳ Ὄρει, κατὰ τὴν ἐπανάστασιν τοῦ 1821, συνελήφθη καὶ ἤχθη εἰς Θεσσαλονίκην μεθ' ἑτέρων ἑξήκοντα ἐννέα συνομηλίκων. Ἐκεῖ μετὰ βιαίους προπηλακισμοὺς καὶ ἀπειλὰς οἱ μὲν συνομήλικοι ἅπαντες φεῦ! ἐδέξαντο τὴν τοῦ Μωάμεθ ψευδοθρησκείαν περιτμηθέντες, μόνος δ' ἀπομείνας ὁ ἅγιος Ζαφείριος, ἁγίῳ Πνεύματι πληρωθείς, τὸν Χριστὸν Θεάνθρωπον ὡμολόγησε καὶ μὴ δεξάμενος τὸν ἐξισλαμισμόν, μετὰ καὶ πλήθους Ἁγιορειτῶν Πατέρων, τῇ 11η τοῦ μηνὸς Ἰουνίου, τὸ θεῖον στέφος ἐδέξατο τῶν Νεομαρτύρων, γενόμενος ἄμωμον καὶ πανεύοσμον θῦμα τῆς ἀγάπης τοῦ Δεσπότου καὶ πρεσβευτὴς διαπρύσιος τῶν τιμώντων τὴν θείαν αὐτοῦ ἄθλησιν.

**Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ὑπὸ τοῦ Ἀρχαγγέλου Γαβριὴλ παράδοξος καὶ θαυματουργικὴ παράδοσις τοῦ Θεομητορικοῦ ὕμνου τοῦ Ἄξιόν ἐστιν ἐν τῷ κελλίῳ τοῦ Ἄιδειν τῶν Καρυῶν, γενομένη κατὰ τὸ ἔτος 982.**

*Στίχοι.*

*Ἤισας Γαβριὴλ πρὶν τό, Χαῖρε, τῇ Κόρῃ,*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἄιδεις δὲ καὶ νῦν, ἄξιόν σε ὑμνέειν.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.**

*Στίχοι.*

*Καὶ σὸς μαθητής, Χριστέ, Βαρθολομαῖος,*
*Μιμούμενός σε, σταυρικὸν φέρει πάθος.*

*Ὑπὲρ λίθον σάπφειρον, ὡς Γραφὴ λέγει,*
*Τοὺς συντρίβοντας εἶχε Βαρνάβας λίθους.*
*Ἑνδεκάτη σταύρωσαν ἐρίφρονα Βαρθολομαῖον.*

**Μνήμη τοῦ ὁσίου Βαρνάβα τοῦ Θαυματουργοῦ, τοῦ ἐν Βάσσᾳ τῆς Κύπρου.**

*Στίχοι.*

*Βάσσης Βαρνάβας θαυματουργεῖ ἐν Κύπρῳ,*
*Πνεύματος ἀδάπανον κηρύττων χάριν.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βαρνάβα τοῦ παρὰ τὸν ποταμὸν Βετλούγκᾳ Ῥωσσίας ἀσκήσαντος.**

*Στίχοι.*

*Ἄφες ποταμόν, Βαρνάβα, τοῦ Βετλούγκα,*
*Καὶ εἰς τὰς ὄχθας κατοίκει Παραδείσου.*

**Μνήμη τῶν ἁγίων Διακοσίων εἴκοσι δύο Κινέζων Νεομαρτύρων, ἀθλησάντων ἐν Πεκίνῳ, ἐπὶ τῆς ἐπαναστάσεως τῶν εἰδωλολατρῶν Μπόξερς, κατὰ τὸ ἔτος 1900.**

*Στίχοι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Τὸ δένδρον ἐπότισαν Ὀρθοδοξίας,*
*Οἱ ἐν Πεκίνῳ ἀθλήσαντες Κινέζοι.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις καὶ θαυματουργοῦ ἱεράρχου Λουκᾶ τοῦ νέου ὁμολογητοῦ, ἀρχιεπισκόπου Συμφερουπόλεως καὶ Κριμαίας, τοῦ ἀναργύρου ἰατροῦ, κοιμηθέντος εἰρηνικῶς ἐν ἔτει 1961.**

*Στίχοι.*
*Λουκᾶς Συμφερουπόλεως ἀρχιθύτης,*
*Καὶ ἰατρὸς σωμάτων τιμάσθω ὕμνοις.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Οὐχ ἐμείωσας, τὴν θέρμην τῆς ἀγάπης σου, μάρτυς Ζαφείριε, πρὸς τὸν Χριστὸν ἀνδρικῶς, ἀλλ' ἔτι ἐκράτυνας, ταύτην καὶ ἔλεγες, τυραννοῦσί σε· γνῶτε ὅτι ὁ Κύριος, ὁ ἐμὸς ἔρως ὑπάρχει.

Νὺξ ἀσέληνος, ἡ πίστις Ἄγαρ πέφυκεν, καὶ πρὸς ἀπώλειαν, ἑλκύει πάντας ὑμᾶς, διὸ τὴν ἀλήθειαν, μάθετε τάλανες, ὁ Ζαφείριος, βασανισταῖς ἐκραύγαζε, τοῦ σεπτοῦ Εὐαγγελίου.

Τὸ ὑπέρκαλλον, τοῦ Θεανθρώπου πρόσωπον, ἐπιποθῶν κατιδεῖν, βασάνοις προσωρινοῖς, τὸ σῶμα προδίδωμι καὶ οὐ πεφόβημαι, ὁ Ζαφεῖρος, μεγαλοφώνως ἔκραζε, πρὸς μαρτύρια βαδίζων.

Θεοτοκίον

Ὄρος ἅγιον, τοῦ Ἄθωνος Ζαφείριον, Ἁγνὴ ἐξέθρεψεν, Ὀρθοδοξίας κρουνοῖς, διὸ ὡς στερέμνιον τεῖχος ὑπέμεινεν, τὰ μαρτύρια, καὶ κληρονόμος δέδεικται, βασιλείας τοῦ Κυρίου.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καταβασία. Τῆς ἑορτῆς ἢ Οὐκ ἐλάτρευσαν.

### ᾨδὴ η'. Παῖδας εὐαγεῖς.

Ὑπὲρ τὰ φαινόμενα φρονήσας, Ζαφείριε ὄμματα ἐστήριξας, τῆς ψυχῆς πρὸς ἄϋλα, καὶ μὴ μεθιστάμενα, ὥσπερ οἱ πάλαι Ἅγιοι, ὧν κατηξίωσαι, χορείας μετασχεῖν μαρτυρίῳ, μέλπων αἰωνίως, Κυρίῳ σὺν ἀγγέλοις.

Κύκλῳ ἀσεβεῖς περιεπάτουν, ψυχήν σου καταπιεῖν Ζαφείριε, θέλοντες καὶ θέλγητρα, ὑπισχνοῦντο πρόσκαιρα, ἀλλὰ αὐτοὺς κατήσχυνας ἐν παῤῥησίᾳ πολλῇ, διὸ τὴν κεφαλὴν ἀπετμήθης, καὶ Χριστῷ ἡνώθης, εἰς πάντας τοὺς αἰῶνας.

Ὕψωσας τὸ κέρας ὑποδούλων, καὶ σκότος ἡμισελήνου τὸ βαθύτατον, ἄθλοις σου διέλυσας, ἅγιε Ζαφείριε, καὶ γόνατα ἠνώρθωσας, χριστιανῶν ψυχικά, διδάξας καρτερίαν ἐν πόνοις, καὶ τὴν δι' ἀγάπην, Χριστοῦ ζωῆς θυσίαν.

### Θεοτοκίον

Ῥῶσίν μοι παράσχου Παναγία, τὸ σῶμα καὶ τὴν ψυχὴν ἐξασθενήσαντι, ὅπως τοῦ Δεσπότου μου, πράττω τὰ θελήματα, καὶ ἁμαρτίας θάνατον φύγω πρεσβείαις σου, δοξάζων τὴν πολλήν σου ἀγάπην, καὶ φιλοτεκνίαν, πρὸς πάντας χριστωνύμους.

Καταβασία. Τῆς ἑορτῆς ἢ Παῖδας εὐαγεῖς.

### ᾨδὴ θ'. Ἅπας γηγενής.

Ἱεροπρεπῶς, τὴν μνήμην σου σήμερον, ἐπιτελοῦντες πιστοί, ἅγιε Ζαφείριε, τὰς ἱκεσίας σου πρὸς τὸν Κύριον, ἀπὸ ψυχῆς αἰτούμεθα ὅπως συντύχωμεν, Παραδείσου, ἔνθα νῦν παρίστασαι, τὸν μισθὸν εἰληφὼς τῆς ἀθλήσεως.

Οἱ ἐπὶ τῆς γῆς, εἰσέτι χριστώνυμοι καταγεραίρομεν, ὕμνοις τοὺς ἀγῶνάς σου, οἱ δὲ Ἁγίων χοροὶ εὐφραίνονται, λαβόντες σε Ζαφείριε, ἐν τοῖς σκηνώμασιν, ἔνθα μόνον, ἡ Τριὰς δοξάζεται, καὶ τὸ φῶς βασιλεύει τὸ ἄκτιστον.

Ὕδωρ τῆς ζωῆς, ποθήσας Ζαφείριε, τῷ μαρτυρίῳ σου, τούτου καταπέπλησαι, καὶ αἰωνίως δίδως τοῖς μέλπουσιν, τὴν ἱεράν σου ἄθλησιν, καὶ τὴν ἀγάπην Χριστοῦ, ἐκδιδάσκεις, δι᾽ ἧς κατεφρόνησας, τὰ τοῦ βίου τερπνὰ καὶ τὰ θέλγητρα.

Θεοτοκίον

Ἄνασσα ἁγνή, Υἱόν σου κηρύξαντες, πρὸ τῶν τυράννων τρανῶς, πάντες Νεομάρτυρες, σκότος δουλείας, λαμπρῶς ἐφώτισαν, καὶ νῦν συμπαριστάμενοι, πάντων Ἁγίων χοροῖς, φιλαδέλφως, Τοῦτον ἱκετεύουσιν, ὑπὲρ ὅσοι αὐτοὺς ὕμνοις μέλπουσι.

Καταβασία. Τῆς ἑορτῆς ἢ Ἅπας γηγενής.

Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Σάπφειρος ὤφθης τίμιος, τῆς Χριστοῦ Ἐκκλησίας, Ζαφείριε τὸν Κύριον, πρὸ τυράννων κηρύξας, καὶ ζοφερὰν πλάνην Ἄγαρ, ἤλεγξας παῤῥησίᾳ, διὸ τὴν κάραν τέτμησαι, καὶ χορῷ προσετέθης, θεοπρεπῶς, τῶν Νεομαρτύρων, μεθ᾽ ὧν δυσώπει, τῆς σωτηρίας τεύξασθαι, τοὺς τιμῶντας σὴν μνήμην.

Θεοτοκίον, ὅμοιον (ἢ τῆς ἑορτῆς).

Εὐλογημένη πάναγνε, Θεοτόκε Παρθένε, χριστιανῶν τὸ καύχημα, τῶν ἀγγέλων ἡ δόξα, καὶ ἀθλοφόρων τὸ κλέος, κράτος τεῖχος καὶ σκέπη, καὶ ὀχυρὸν προπύργιον, φύλαττε καὶ προστάτις, καὶ βοηθός, ἐν κινδύνοις φάνηθι τοῖς σοῖς δούλοις, καὶ γὰρ ἐν σοὶ καυχώμεθα, προστασία τοῦ κόσμου

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Νεομαρτύρων τὸν σύναθλον, καὶ τῶν πιστῶν στηριγμόν, δεῦτε ὕμνοις τιμήσωμεν, τὸν σεπτὸν Ζαφείριον, δι' ἀγάπην τοῦ Κτίσαντος, θύσαντα πάντα, ζωῆς τὰ ἥδιστα, ἵνα Κυρίῳ ζήσῃ αἰώνια, καὶ διελέγξαντα, πίστιν τὴν ψυχώλεθρον, ἀγαρηνῶν, διὸ ξίφει τέτμηται, τὴν ἱερὰν κεφαλήν.

Μετ' ἀσεβῶν οὐκ ἐκάθησας, ὡς μελῳδεῖ ὁ Δαβίδ, ἀλλὰ ἔστης ἀκλόνητος, εὐσεβείας δόγμασι, νεομάρτυς Ζαφείριε, καὶ τῆς παρούσης ζωῆς προέκρινας, τὸν δι' ἀγάπην, Κυρίου θάνατον· ὅθεν ἠξίωσαι, καθορᾶν τὸ ἄληκτον, ἐν τῇ Ἐδέμ, φῶς δι' οὗ εὐφραίνονται, πάντων Ἁγίων χοροί.

Σάπφειρος ὤφθης Ζαφείριε, κατακοσμήσας λαμπρῶς, Ἐκκλησίας διάδημα, ὅπερ φέρει ἔκπαλαι, ἐκ πολλῶν συνιστάμενον, λίθων τιμίων, τῆς ὁσιότητος, καὶ μαρτυρίας διὰ τὸν Κύριον, οἵτινες ἅπαντες, τὴν Αὐτοῦ θεότητα τρανῇ φωνῇ, καὶ τὴν ἀνθρωπότητα, κόσμῳ ἐκήρυξαν.

Ἐξ ὁμηλίκων μονώτατος, πίστιν Χριστοῦ ἀληθῆ, ὡμολόγησας Ἅγιε, καὶ φαιδρῶς ἐχώρησας, ὡς πρὸς γάμον Ζαφείριε, τμηθῆναι κάραν καὶ στέφος ἄφθαρτον, λαβεῖν ὃ πᾶσι, παρέχει Κύριος, ἀνακηρύξασι, τὴν αὐτοῦ θεότητα, πρὸ ἀσεβῶν· ὅθεν ἀνυμνοῦμέν σου, τὴν θείαν ἄθλησιν.

Δόξα. Ἦχος πλ.α΄.

Τοῦ ἀρχιμάρτυρος Κυρίου Ἰησοῦ, μιμητὴς γνήσιος γενόμενος, ὑπὲρ τῆς ἀγάπης Αὐτοῦ τὴν ψυχήν σου προθύμως ἀνέθηκας, νεομάρτυς ἔνδοξε Ζαφείριε, καὶ τὸ διάδημα τῆς νύμφης Ἐκκλησίας, ὡς σάπφειρος νοητὸς λαμπρῶς κατεκόσμησας. Ὅθεν ὡς τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως συμμέτοχος, δεδόξασαι ἀξίως, ἐν τῇ ἀσαλεύτῳ ἄνω


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Σιών, ἔνθα μὴ παύσῃ αἴρειν χεῖρας πρὸς τὸν Φιλάνθρωπον, ἵνα καὶ ἡμῖν δωρήσηται τὴν κληρονομίαν τῆς θείας βασιλείας Αὐτοῦ,ὡς Πολυέλεος.

Καὶ νῦν. Θεοτοκίον (ἢ τῆς ἑορτῆς).

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ μαρτυρικά
*(βλέπε 2 Σεπτεμβρίου, τοῦ ἁγίου Μάμαντος)*

*Μεγαλυνάρια*

Ἰησοῦν κηρύξας Λόγον Θεοῦ,
καὶ ἐλέγξας Ἄγαρ,
τὸν ψυχώλεθρον σκοτασμόν,
μάρτυς ἀνεδείχθης,
Ζαφείριε τρισμάκαρ,
πρεσβεύων ὑπὲρ πάντων,
τῶν γεραιρόντων σε.

Σάπφειρος ὑπάρχων θεολαμπής,
Ζαφείριε ὤφθης,
νεομάρτυς τοῦ Ἰησοῦ,
τὸ τῆς Ἐκκλησίας,
διάδημα κοσμήσας ,
καὶ φωτισμὸν παρέχων,
τοῖς ἀνυμνοῦσί σε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


## Στίχοι

*Δὸς τὴν ἀγάπην Χριστοῦ τοῖς σὲ τιμῶσιν,*
*Ὦ Ζαφείριε, Νεομαρτύρων κλέος.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ